ραντά τι τὴν ἀγορὰν τῶν ὠ[νουμέν]ων εἰς κοινὸν τῆς πόλεως λυμεῶνα ('au détriment commun de l'État' übersetzt Joubin) ἐπάρατον εἶναι wird ὡς statt εἰς zu schreiben sein.

## VIII.

Der Beschluss der Stadt Gytheion zu Ehren des Ἀσκλαπιοῦ ὑπουργὸς Δαμιάδας bedarf so wie er Greek inscriptions in the British Museum II 143 veröffentlicht ist, erheblicher Berichtigungen und Ergänzungen. Ich theile nachstehend meine Herstellung der Zeilen 9 bis 22, 28 bis 40 mit und bezeichne kurz die Abweichungen von Newtons Text.

Ἐπεὶ Δαμιάδας —]λεος Λακεδαιμόνιος ἰατρὸς ἀ-
ποσταλέντων ποτ' α]ὐτὸν γραμμάτων καθὼς ἐψαφί-
ξατο ὁ δᾶμος ὅπως ἥξ]ει ποθ' ἁμὲ ἰατρεύσων διὰ τὸ ὑπά[ρ-
χειν αὐτὸν] ἔν τε τᾶι τέχναι οὐδενὸς δεύτερον κα-
τὰ πάντα τὸν β]ίον τε ἄριστον, τὰν μεγίσταν καταλογά[ν
ἀεὶ ποιούμε]νος τῶν τε ἀρχόντων καὶ τᾶς πόλιος ἁ-
μῶν εὐθὺς παρε]γένετο ποθ' ἁμὲ καὶ ἐργολαβήσας κα-
θὼς παρε]κλήθη ὑπὸ τοῦ δάμου καὶ διετῆ χρόνον
ἀναστρεφό]μενος παρ' ἁμὲ ἔν τε τᾶι τέχναι τὰ δίκαι-
α παρείσχηκ]ε τοῖς χρείαν ἔχουσιν σπουδᾶς καὶ φιλο-
τιμίας οὐ]θὲν ἐλλείπων εἰς τὸ πᾶσιν ἴσος εἶναι κα[ὶ
πένησι καὶ] πλουσίοις καὶ δούλοις καὶ ἐλευθέροις·
τᾶι λοιπᾶι ἀ]ναστροφᾶι δὲ καὶ παρεπιδημίαι ἇι πεποί-
ηται . . . .]κοφον α[ὑ]σαυτὸν διατετήρηκε ἄξιος γινό-
μενος κτλ.]
καὶ? ἐ]πὶ Βιάδα δὲ Λαφρίωι θεωρῶν τὰν [πόλιν ἐξ-
απορου]μέναν ἐν ταῖς εἰσφοραῖς ἐπανγ[είλατο
τῶι δά]μωι δωρεὰν ἰατρεύσειν παρ' ἁμὲ τ[ὸν τρί-
τον ἐνι]αυτὸν ὑπερμετρῶν ἁμὲ τοῖς δικ[αίοις
καὶ τᾶς] καλοκαγαθίας καὶ τᾶς εἰς τὰν [πό-
λιν ἁ]μῶν εὐνοίας τε καὶ φιλοστο[ργίας τὰν
μεγίσ]ταν ἀπόδειξιν διὰ πάντων ποιο[ύμενος·
δι' ἃ ὁ δᾶ]μος ἀπευχαριστῶν ἐν πᾶσιν τοῖς [πε-
πραγμέ]νοις Δαμιάδαι κατειληφὼς εὔνο[υν αὐ-
τὸν ὑπ]άρχοντα τᾶι πόλει ἁμῶν καὶ διὰ π[αντὸς ἀ-
γαθοῦ τι]νὸς παραίτιον γενόμενον ἔν τε τ[ᾶι τέ-
χναι καὶ] ἐν παντὶ τῶι βίωι, πρόξενον αὐ[τὸν πε-
ποίη]κε καὶ εὐεργέταν τᾶς πόλεος κτλ.

11 f. διὰ τοῦ π[αρεισχῆσθαι αὐτὸν Newton. 12 f. κα[τὰ δόξαν δαμόσ]ιόν τε ἄριστον N.; vgl. Z. 37, Paton-Hicks, Inscriptions of Cos 344, 3 ff. ἐτείμασαν —

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
http://digi.ub.uni-heidelberg.de/diglit/archepigrmoeu1897/0077
© Universitätsbibliothek Heidelberg
gefördert durch die DFG